35–45: Mt 20,20–28.
35 *Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάν-*
νης οἱ υἱοὶ Ζεβεδαίου λέγοντες αὐτῷ· διδάσκαλε,
36 *θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμέν σε ποιήσῃς ἡμῖν. ὁ*
37 *δὲ εἶπεν αὐτοῖς· τί θέλετε ποιήσω ὑμῖν; οἱ δὲ*
εἶπαν αὐτῷ· δὸς ἡμῖν ἵνα εἷς σου ἐκ δεξιῶν καὶ
14,36. L 12,50. 38 *εἷς ἐξ ἀριστερῶν καθίσωμεν ἐν τῇ δόξῃ σου. ὁ*
δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐκ οἴδατε τί αἰτεῖσθε.
δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, ἢ τὸ
Act 12,2. Ap 1,9. 39 *βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; οἱ δὲ*
εἶπαν αὐτῷ· δυνάμεθα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς·
τὸ ποτήριον ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ βάπτισμα
40 *ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· τὸ δὲ καθίσαι*
ἐκ δεξιῶν μου ἢ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν
41 *δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. Καὶ ἀκούσαντες οἱ*
δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου.
L 22,25–27. 42 *καὶ προσκαλεσάμενος αὐτοὺς ὁ Ἰησοῦς λέγει αὐτοῖς·*
οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατα-
κυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι αὐτῶν κατ-
9,35. 43 *εξουσιάζουσιν αὐτῶν. οὐχ οὕτως δέ ἐστιν ἐν ὑμῖν·*
ἀλλ' ὃς ἂν θέλῃ μέγας γενέσθαι ἐν ὑμῖν, ἔσται
44 *ὑμῶν διάκονος, καὶ ὃς ἂν θέλῃ ἐν ὑμῖν εἶναι*
45 *πρῶτος, ἔσται πάντων δοῦλος· καὶ γὰρ ὁ υἱὸς*
τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

46–52: Mt 20,29–34. L 18,35–43.
46 *Καὶ ἔρχονται εἰς Ἱερειχώ. Καὶ ἐκπορευομένου*
αὐτοῦ ἀπὸ Ἱερειχὼ καὶ τῶν μαθητῶν αὐτοῦ καὶ
ὄχλου ἱκανοῦ ὁ υἱὸς Τιμαίου Βαρτίμαιος, τυφλὸς
47 *προσαίτης, ἐκάθητο παρὰ τὴν ὁδόν. καὶ ἀκούσας*
ὅτι Ἰησοῦς ὁ Ναζαρηνός ἐστιν ἤρξατο κράζειν καὶ

---

35 οι : H+ [δυο] *36* θελετε : hT+ με *37* εξ : T pr σου *43* εσται : h εστω *44* εν υμιν ειναι : T υμων γενεσθαι *46* T Βαρτιμαῖος *47* h εστ. ο Ναζαρ.

---

35 ερωτησομεν *46* απο Ιερ. και : εκειθεν | ο υιος Τιμαιου Βαριτειμιας | — προσαιτης, sed επαιτων post οδον *47* Ναζωραιος

λέγειν· υἱὲ Δαυεὶδ Ἰησοῦ, ἐλέησόν με. καὶ ἐπε- 48
τίμων αὐτῷ πολλοὶ ἵνα σιωπήσῃ· ὁ δὲ πολλῷ
μᾶλλον ἔκραζεν· υἱὲ Δαυείδ, ἐλέησόν με. καὶ στὰς 49
ὁ Ἰησοῦς εἶπεν· φωνήσατε αὐτόν. καὶ φωνοῦσιν
τὸν τυφλὸν λέγοντες αὐτῷ· θάρσει, ἔγειρε, φωνεῖ
σε. ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀναπηδήσας 50
ἦλθεν πρὸς τὸν Ἰησοῦν. καὶ ἀποκριθεὶς αὐτῷ 51
ὁ Ἰησοῦς εἶπεν· τί σοι θέλεις ποιήσω; ὁ δὲ τυφλὸς
εἶπεν αὐτῷ· ῥαββουνί, ἵνα ἀναβλέψω. ὁ δὲ 52
Ἰησοῦς εἶπεν αὐτῷ· ὕπαγε, ἡ πίστις σου σέσωκέν
σε. καὶ εὐθὺς ἀνέβλεψεν, καὶ ἠκολούθει αὐτῷ ἐν
τῇ ὁδῷ.

Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱεροσόλυμα εἰς Βηθφαγὴ 11 1–10: Mt 21,1–9. L 19,29–38. J 12,12–16.
καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀπο-
στέλλει δύο τῶν μαθητῶν αὐτοῦ [1] καὶ λέγει αὐτοῖς· 2
ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ
εὐθὺς εἰσπορευόμενοι εἰς αὐτὴν εὑρήσετε πῶλον
δεδεμένον ἐφ' ὃν οὐδεὶς οὔπω ἀνθρώπων ἐκάθισεν·
λύσατε αὐτὸν καὶ φέρετε. καὶ ἐάν τις ὑμῖν εἴπῃ· 3 14,14.
τί ποιεῖτε τοῦτο; εἴπατε· ὁ κύριος αὐτοῦ χρείαν
ἔχει· καὶ εὐθὺς αὐτὸν ἀποστέλλει πάλιν ὧδε. καὶ 4
ἀπῆλθον καὶ εὗρον πῶλον δεδεμένον πρὸς θύραν
ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύουσιν αὐτόν. καί 5
τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς· τί ποιεῖτε
λύοντες τὸν πῶλον; οἱ δὲ εἶπαν αὐτοῖς καθὼς 6
εἶπεν ὁ Ἰησοῦς· καὶ ἀφῆκαν αὐτούς. καὶ φέρουσιν 7
τὸν πῶλον πρὸς τὸν Ἰησοῦν, καὶ ἐπιβάλλουσιν
αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπ' αὐτόν.
καὶ πολλοὶ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν 8

---

51 H ραββουνει h^r ┤ κυριε ραββει ├ *et* ραββει *52* ο δε : H *και* ο 11,*1* εις Βηθφ. και : hT *και* εις | των 1° : h *το* *2* T ουδ. ανθρ. ουπω | T κεκαθικεν *3* T εχει, | h αποστ. παλ. αυτ. *4* πωλον : T pr *τον* | θυραν : T pr *την* *6* R ειπον *7* αυτων : h εαυτων

---

49 ειπεν αυτον φωνηθηναι *50* επιβαλων 11,*1* ηγγιζεν *3* τι λυετε τον πωλον *7* ηγαγον | καθιζει

ὁδόν, ἄλλοι δὲ στιβάδας, κόψαντες ἐκ τῶν ἀγρῶν.
Ps 118,25.26. 9 καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον·
ὡσαννά·
εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου·
10 εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς
ἡμῶν Δαυείδ·
ὡσαννὰ ἐν τοῖς ὑψίστοις.
11–24: Mt 21,12–22. L. 19,45–48. 11 Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα εἰς τὸ ἱερόν· καὶ
περιβλεψάμενος πάντα, ὀψὲ ἤδη οὔσης τῆς ὥρας,
ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.
12 Καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βη-
13 θανίας ἐπείνασεν. καὶ ἰδὼν συκῆν ἀπὸ μακρόθεν
ἔχουσαν φύλλα ἦλθεν εἰ ἄρα τι εὑρήσει ἐν αὐτῇ,
καὶ ἐλθὼν ἐπ' αὐτὴν οὐδὲν εὗρεν εἰ μὴ φύλλα·
20. 14 ὁ γὰρ καιρὸς οὐκ ἦν σύκων. καὶ ἀποκριθεὶς
εἶπεν αὐτῇ· μηκέτι εἰς τὸν αἰῶνα ἐκ σοῦ μηδεὶς
καρπὸν φάγοι. καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ.
15 [1] Καὶ ἔρχονται εἰς Ἱεροσόλυμα. Καὶ εἰσελθὼν εἰς
τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ
τοὺς ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας
τῶν κολλυβιστῶν καὶ τὰς καθέδρας τῶν πωλούν-
16 των τὰς περιστερὰς κατέστρεψεν, καὶ οὐκ ἤφιεν
Is 56,7. Jr 7,11. 17 ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ, καὶ ἐδί-
δασκεν καὶ ἔλεγεν αὐτοῖς· οὐ γέγραπται ὅτι **ὁ**
οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσιν τοῖς
ἔθνεσιν; ὑμεῖς δὲ πεποιήκατε αὐτὸν **σπήλαιον**
18 **λῃστῶν**. καὶ ἤκουσαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμ-
ματεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσωσιν· ἐφο-
βοῦντο γὰρ αὐτόν, πᾶς γὰρ ὁ ὄχλος ἐξεπλήσσετο
19 ἐπὶ τῇ διδαχῇ αὐτοῦ. Καὶ ὅταν ὀψὲ ἐγένετο,
14. 20 ἐξεπορεύοντο ἔξω τῆς πόλεως. Καὶ παρα-

9.10 T ὡσαννα *11* h ὀψιας | h [της ωρας] *17* ℵ— αυτοις *18* T εξεπλησσοντο *19* hT εξεπορευετο

---

8 εκοπτον εκ των δενδρων και εστρωννυον (εις) την οδον *9* — ωσαννα *13* ιδειν εαν τι εστιν και μηδεν ευρων *15* και εισελθων εις Ιερ. οτε ην εν τω ιερω | — κατεστρεψεν

πορευόμενοι πρωὶ εἶδον τὴν συκῆν ἐξηραμμένην
ἐκ ῥιζῶν. καὶ ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ· 21
ῥαββεί, ἴδε ἡ συκῆ ἣν κατηράσω ἐξήρανται. καὶ 22
ἀποκριθεὶς ὁ Ἰησοῦς λέγει αὐτοῖς· ἔχετε πίστιν
θεοῦ. ἀμὴν λέγω ὑμῖν ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει 23 Mt 17,20.
τούτῳ· ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ
μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ ἀλλὰ πιστεύῃ
ὅτι ὃ λαλεῖ γίνεται, ἔσται αὐτῷ. διὰ τοῦτο λέγω 24 Mt 7,7.
ὑμῖν, πάντα ὅσα προσεύχεσθε καὶ αἰτεῖσθε, πι- J 14,13.
στεύετε ὅτι ἐλάβετε, καὶ ἔσται ὑμῖν. καὶ ὅταν 25 Mt 5,23.
στήκετε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά
τινος, ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς Mt 6,14.15.
ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν.

Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα. καὶ ἐν τῷ 27 27–33: Mt 21,23–27. L 20,1–8.
ἱερῷ περιπατοῦντος αὐτοῦ ἔρχονται πρὸς αὐτὸν
οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύ-
τεροι, καὶ ἔλεγον αὐτῷ· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα 28
ποιεῖς; ἢ τίς σοι ἔδωκεν τὴν ἐξουσίαν ταύτην ἵνα
ταῦτα ποιῇς; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ἐπερω- 29
τήσω ὑμᾶς ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ
ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. τὸ βά- 30
πτισμα τὸ Ἰωάννου ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων;
ἀποκρίθητέ μοι. καὶ διελογίζοντο πρὸς ἑαυτοὺς 31
λέγοντες· ἐὰν εἴπωμεν· ἐξ οὐρανοῦ, ἐρεῖ· διὰ τί
[οὖν] οὐκ ἐπιστεύσατε αὐτῷ; ἀλλὰ εἴπωμεν· ἐξ 32
ἀνθρώπων; — ἐφοβοῦντο τὸν λαόν· ἅπαντες γὰρ
εἶχον τὸν Ἰωάννην ὄντως ὅτι προφήτης ἦν. καὶ 33
ἀποκριθέντες τῷ Ἰησοῦ λέγουσιν· οὐκ οἴδαμεν.
καὶ ὁ Ἰησοῦς λέγει αὐτοῖς· οὐδὲ ἐγὼ λέγω ὑμῖν
ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Καὶ ἤρξατο αὐτοῖς 12 1–12: Mt 21,33–46. L 20,9–19.

---

28 T *την εξουσ. ταυτ. εδωκεν* *31* [*ουν*] : T *32* *λαον* : H *οχλον* | *ειχον* : h^r ┤ *ηδεισαν* ├

---

22 ει εχετε *23 πιστευση το μελλον ο αν ειπη γενησεται* *24 λημψεσθε* *26 ει δε υμεις ουκ αφιετε, ουδε ο πατηρ υμων ο εν (τοις) ουρανοις αφησει (υμιν) τα παραπτωματα υμων* *27 πρεσβ.* : + *του λαου* *30 ουρανων*

Is 5,1.2. ἐν παραβολαῖς λαλεῖν. ἀμπελῶνα ἄνθρωπος ἐφύ-
τευσεν, καὶ περιέθηκεν φραγμὸν καὶ ὤρυξεν ὑπο-
λήνιον καὶ ᾠκοδόμησεν πύργον, καὶ ἐξέδετο αὐτὸν
2 γεωργοῖς, καὶ ἀπεδήμησεν. καὶ ἀπέστειλεν πρὸς
τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα παρὰ τῶν
γεωργῶν λάβῃ ἀπὸ τῶν καρπῶν τοῦ ἀμπελῶνος·
3 καὶ λαβόντες αὐτὸν ἔδειραν καὶ ἀπέστειλαν κενόν.
4 καὶ πάλιν ἀπέστειλεν πρὸς αὐτοὺς ἄλλον δοῦλον·
5 κἀκεῖνον ἐκεφαλίωσαν καὶ ἠτίμασαν. καὶ ἄλλον
ἀπέστειλεν· κἀκεῖνον ἀπέκτειναν, καὶ πολλοὺς
ἄλλους, οὓς μὲν δέροντες, οὓς δὲ ἀποκτέννοντες.
6 ἔτι ἕνα εἶχεν, υἱὸν ἀγαπητόν· ἀπέστειλεν αὐτὸν
ἔσχατον πρὸς αὐτοὺς λέγων ὅτι ἐντραπήσονται
7 τὸν υἱόν μου. ἐκεῖνοι δὲ οἱ γεωργοὶ πρὸς ἑαυτοὺς
εἶπαν ὅτι οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀπο-
κτείνωμεν αὐτόν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία.
H 13,12. 8 καὶ λαβόντες ἀπέκτειναν αὐτόν, καὶ ἐξέβαλον
9 αὐτὸν ἔξω τοῦ ἀμπελῶνος. τί ποιήσει ὁ κύριος
τοῦ ἀμπελῶνος; ἐλεύσεται καὶ ἀπολέσει τοὺς
Ps 118,22.23. 10 γεωργούς, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. οὐδὲ
τὴν γραφὴν ταύτην ἀνέγνωτε·

λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες,
οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας·
11 παρὰ κυρίου ἐγένετο αὕτη,
καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;

12 Καὶ ἐζήτουν αὐτὸν κρατῆσαι, καὶ ἐφοβήθησαν τὸν
ὄχλον· ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παρα-
βολὴν εἶπεν. καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.
13–17: Mt 22,15–22. L 20,20–26. 3,6. 13 Καὶ ἀποστέλλουσιν πρὸς αὐτόν τινας τῶν Φαρι-
σαίων καὶ τῶν Ἡρῳδιανῶν ἵνα αὐτὸν ἀγρεύσωσιν
14 λόγῳ. καὶ ἐλθόντες λέγουσιν αὐτῷ· διδάσκαλε,

---

5 H αποκτεννυντες 6 T ειχεν υ. 9 τι : R+ [ουν]
12 H απηλθαν

---

2 λαβη : δωσουσιν αυτω 3 fin + προς αυτον 4 (λιθοβολησαντες) επεκεφαλαιωσαν | απεστειλαν ητιμωμενον

οἶδαμεν ὅτι ἀληθὴς εἶ καὶ οὐ μέλει σοι περὶ
οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων,
ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις·
ἔξεστιν δοῦναι κῆνσον Καίσαρι ἢ οὔ; δῶμεν ἢ μὴ
δῶμεν; ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν εἶπεν 15
αὐτοῖς· τί με πειράζετε; φέρετέ μοι δηνάριον ἵνα
ἴδω. | οἱ δὲ ἤνεγκαν. καὶ λέγει αὐτοῖς· τίνος ἡ 16
εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; οἱ δὲ εἶπαν αὐτῷ·
Καίσαρος. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· τὰ Καίσαρος 17 R 13,7.
ἀπόδοτε Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. καὶ
ἐξεθαύμαζον ἐπ' αὐτῷ.

Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν, οἵτινες 18 18–27: Mt 22,23–33. L 20,27–38.
λέγουσιν ἀνάστασιν μὴ εἶναι, καὶ ἐπηρώτων αὐτὸν
λέγοντες· διδάσκαλε, Μωϋσῆς ἔγραψεν ἡμῖν ὅτι 19 Dt 25,5.6. Gn 38,8.
ἐάν τινος ἀδελφὸς ἀποθάνῃ καὶ καταλίπῃ γυναῖκα
καὶ μὴ ἀφῇ τέκνον, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ
τὴν γυναῖκα καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ
αὐτοῦ. ἑπτὰ ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος ἔλαβεν 20
γυναῖκα, καὶ ἀποθνήσκων οὐκ ἀφῆκεν σπέρμα·
καὶ ὁ δεύτερος ἔλαβεν αὐτήν, καὶ ἀπέθανεν μὴ 21
καταλιπὼν σπέρμα· καὶ ὁ τρίτος ὡσαύτως· | καὶ 22
οἱ ἑπτὰ οὐκ ἀφῆκαν σπέρμα. ἔσχατον πάντων
καὶ ἡ γυνὴ ἀπέθανεν. ἐν τῇ ἀναστάσει τίνος 23
αὐτῶν ἔσται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυ-
ναῖκα. ἔφη αὐτοῖς ὁ Ἰησοῦς· οὐ διὰ τοῦτο πλα- 24
νᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν
τοῦ θεοῦ; ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε 25
γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι

---

14 T *εξεστ. κηνσ. καισ. ϕουν.* | *κηνσον* : h^r ┤ *επικεφαλαιον* ├ *15 ειδως* : T *ιδων, it 28* *17* H— *αυτοις* *23 αναστασει* : h^r T+ *οταν αναστωσιν* *25* h *οι αγγελοι οι*

---

14 ειπε ουν ημιν ει εξεστιν ημας δουναι επικεφαλαιον Καισαρι η ου *19 καταλιπη* : *εχη* *20 ησαν ουν παρ ημιν επτα αδ.* *21 και ουδε αυτος ουκ αφηκεν* | *και ωσαυτως ελαβον αυτην οι επτα* *24 γινωσκοντες* | *θεου* : + *οιδατε*

Ex 3,2.6. 26 *ἐν τοῖς οὐρανοῖς. περὶ δὲ τῶν νεκρῶν ὅτι ἐγεί-*
ρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωϋσέως ἐπὶ
τοῦ βάτου πῶς εἶπεν αὐτῷ ὁ θεὸς λέγων· ἐγὼ ὁ
27 **θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ**; *οὐκ*
ἔστιν θεὸς νεκρῶν ἀλλὰ ζώντων. πολὺ πλανᾶσθε.

28–34: Mt 22,34–40. L 20,39.40. L 10,25–28. 28 *Καὶ προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας*
αὐτῶν συνζητούντων, εἰδὼς ὅτι καλῶς ἀπεκρίθη
αὐτοῖς, ἐπηρώτησεν αὐτόν· ποία ἐστὶν ἐντολὴ
Dt 6,4.5. 29 *πρώτη πάντων; ἀπεκρίθη ὁ Ἰησοῦς ὅτι πρώτη*
ἐστίν· ἄκουε, **Ἰσραήλ, κύριος ὁ θεὸς ἡμῶν κύριος**
30 **εἷς ἐστιν, καὶ ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ**
ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου
καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς
Lv 19,18. 31 **ἰσχύος σου.** *δευτέρα αὕτη·* **ἀγαπήσεις τὸν πλησίον**
σου ὡς σεαυτόν. *μείζων τούτων ἄλλη ἐντολὴ οὐκ*
Dt 6,4; 4,35. 32 *ἔστιν. καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς· καλῶς,*
διδάσκαλε, ἐπ' ἀληθείας εἶπες ὅτι εἷς ἐστιν καὶ
1 Sm 15,22. 33 **οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ·** *καὶ τὸ* **ἀγαπᾶν αὐτὸν**
ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς συνέσεως καὶ
ἐξ ὅλης τῆς ἰσχύος, *καὶ τὸ* **ἀγαπᾶν τὸν πλησίον**
ὡς ἑαυτὸν *περισσότερόν ἐστιν πάντων* **τῶν ὁλο-**
Act 26,27–29. 34 **καυτωμάτων καὶ θυσιῶν.** *καὶ ὁ Ἰησοῦς, ἰδὼν*
αὐτὸν ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· οὐ
μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ. καὶ οὐδεὶς

35–37: Mt 22,41–46. L 20,41–44. 35 *οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι. Καὶ ἀπο-*
κριθεὶς ὁ Ἰησοῦς ἔλεγεν διδάσκων ἐν τῷ ἱερῷ·
πῶς λέγουσιν οἱ γραμματεῖς ὅτι ὁ Χριστὸς υἱὸς
Ps 110,1. 2 Sm 23,2. 36 *Δαυεὶδ ἐστιν; αὐτὸς Δαυεὶδ εἶπεν ἐν τῷ πνεύματι*
τῷ ἁγίῳ·

---

26 και bis : T+*ο* *27 εστιν* : hT+*ο* *29* h *ημων, Κυριος* *30* K— *της* 1º, *it 33.* *32* K— *και* 1º | R *ειπας* *33 θυσιων* : T pr *των* *34* H [*ει*]

---

27 πολυ : pr *υμεις ουν* *28 αυτον* : + *λεγων διδασκαλε* *30* — *εξ ολ. τ. διανοιας σου* | fin + *αὕτη πρωτη εντολη* *31 αὕτη* : *δε ομοια αυτῃ* *32 εστιν* : + *ο θεος* *33 συνεσεως* : *δυναμεως* | *ισχυος* : *ψυχης* | *περισσ.* : *πλειον*

εἶπεν κύριος τῷ κυρίῳ μου·
κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς
σου ὑποπόδιον τῶν ποδῶν σου.
αὐτὸς Δαυεὶδ λέγει αὐτὸν κύριον, καὶ πόθεν 37
αὐτοῦ ἐστιν υἱός;
Καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως. | Καὶ 38 38–40: Mt 23. L 20,45–47.
ἐν τῇ διδαχῇ αὐτοῦ ἔλεγεν· βλέπετε ἀπὸ τῶν
γραμματέων τῶν θελόντων ἐν στολαῖς περιπατεῖν
καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς | καὶ πρωτοκαθε- 39
δρίας ἐν ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν
τοῖς δείπνοις· οἱ κατέσθοντες τὰς οἰκίας τῶν 40
χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι, οὗτοι
λήμψονται περισσότερον κρίμα. Καὶ καθίσας 41 41–44: L 21,1–4. 2 Rg 12,10.
κατέναντι τοῦ γαζοφυλακίου ἐθεώρει πῶς ὁ ὄχλος
βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον· καὶ πολλοὶ
πλούσιοι ἔβαλλον πολλά· καὶ ἐλθοῦσα μία χήρα 42
πτωχὴ ἔβαλεν λεπτὰ δύο, ὅ ἐστιν κοδράντης. καὶ 43
προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν
αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ
πλεῖον πάντων ἔβαλεν τῶν βαλλόντων εἰς τὸ γα-
ζοφυλάκιον· πάντες γὰρ ἐκ τοῦ περισσεύοντος 44 2 K 8,12.
αὐτοῖς ἔβαλον, αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς
πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς.
Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ λέγει 13 Mt 24. L 21,5–36.
αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ· διδάσκαλε, ἴδε
ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί. καὶ ὁ 2
Ἰησοῦς εἶπεν αὐτῷ· βλέπεις ταύτας τὰς μεγάλας
οἰκοδομάς; οὐ μὴ ἀφεθῇ [ὧδε] λίθος ἐπὶ λίθον
ὃς οὐ μὴ καταλυθῇ. Καὶ καθημένου αὐτοῦ 3

---

36 κυριος : T pr o | h καθισον | H υποκατω *39.40* K δειπνοις, οι . . . προσευχομενοι· *40* T κατεσθιοντες | χηρων : h^{r}+ ┤και ορφανων├ *41* h απεναντι *43* T βεβληκεν 13,*2* [ωδε] : H—T | fin h^{r}+ ┤ και δια τριων ημερων αλλος αναστησεται ανευ χειρων├

---

38 διδασκων αμα ελεγεν αυτοις *40* χηρ. και ορφανων προφ. *41* — βαλλει . . . πλουσιοι *42* μια : δε αμα | — πτωχη 13,*1* fin + του ιερου *2* βλεπετε | ου μη : pr αμην λεγω υμιν

εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, ἐπη-
ρώτα αὐτὸν κατ' ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ
4 Ἰωάννης καὶ Ἀνδρέας· εἰπὸν ἡμῖν, πότε ταῦτα
ἔσται; καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα συντε-
5 λεῖσθαι πάντα; ὁ δὲ Ἰησοῦς ἤρξατο λέγειν αὐτοῖς·
6 βλέπετε μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ ἐλεύσονται
ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι ἐγώ εἰμι, καὶ
7 πολλοὺς πλανήσουσιν. ὅταν δὲ ἀκούσητε πολέμους
καὶ ἀκοὰς πολέμων, μὴ θροεῖσθε· δεῖ γενέσθαι,
Is 19,2. 2 Chr 15,6. 8 ἀλλ' οὔπω τὸ τέλος. ἐγερθήσεται γὰρ ἔθνος ἐπ'
ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν. ἔσονται σεισμοὶ
κατὰ τόπους, ἔσονται λιμοί· ἀρχὴ ὠδίνων ταῦτα.
9–13: Mt 10,17–22. L 21,12–17. 9 Βλέπετε δὲ ὑμεῖς ἑαυτούς· παραδώσουσιν ὑμᾶς
εἰς συνέδρια καὶ εἰς συναγωγὰς δαρήσεσθε καὶ ἐπὶ
ἡγεμόνων καὶ βασιλέων σταθήσεσθε ἕνεκεν ἐμοῦ,
16,15. 10 εἰς μαρτύριον αὐτοῖς. καὶ εἰς πάντα τὰ ἔθνη
11 πρῶτον δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον. καὶ ὅταν
ἄγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε τί
λαλήσητε, ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ,
τοῦτο λαλεῖτε· οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες
Mch 7,6. 12 ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. καὶ παραδώσει ἀδελ-
φὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ
ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν
13 αὐτούς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ
τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος
Dn 9,27. Dn 12,4.10. 14 σωθήσεται. Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς
ἐρημώσεως ἑστηκότα ὅπου οὐ δεῖ, ὁ ἀναγινώσκων
νοείτω, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ
15 ὄρη, ὁ δὲ ἐπὶ τοῦ δώματος μὴ καταβάτω μηδὲ
16 εἰσελθάτω τι ἆραι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ εἰς

---

8 T o *Πετρος* *4* H *εσται, et παντα.* *7* h *ακουητε* *8 λιμοι* : h^{r}+ *και ταραχαι* *15* ℵ— *δε* | T *αραι τι*

---

5 ειπεν *7 θορυβεισθε* *9 βλεπετε . . . υμας* : *ειτα υμας αυτους παραδωσουσιν* *10* fln + *εν πασι τοις εθνεσιν* *11 προμερ.* : + *μηδε μελετατε* *14 νοειτω* : + *τι αναγινωσκει* *15 καταβ.* : + *εις την οικιαν*

τὸν ἀγρὸν μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἄραι τὸ
ἱμάτιον αὐτοῦ. οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις 17
καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. προσ- 18
εύχεσθε δὲ ἵνα μὴ γένηται χειμῶνος· ἔσονται 19 Dn 12,1.
γὰρ αἱ ἡμέραι ἐκεῖναι θλίψις, οἵα οὐ γέγονεν Joel 2,2.
τοιαύτη ἀπ' ἀρχῆς κτίσεως ἣν ἔκτισεν ὁ θεὸς ἕως
τοῦ νῦν καὶ οὐ μὴ γένηται. καὶ εἰ μὴ ἐκολό- 20
βωσεν κύριος τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα
σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο ἐκο-
λόβωσεν τὰς ἡμέρας. καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ· 21
ἴδε ὧδε ὁ Χριστός, ἴδε ἐκεῖ, μὴ πιστεύετε· ἐγερθή- 22 Dt 13,1.
σονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ
δώσουσιν σημεῖα καὶ τέρατα πρὸς τὸ ἀποπλανᾶν
εἰ δυνατὸν τοὺς ἐκλεκτούς. ὑμεῖς δὲ βλέπετε· 23
προείρηκα ὑμῖν πάντα. Ἀλλὰ ἐν ἐκείναις ταῖς 24 Is 13,10.
ἡμέραις μετὰ τὴν θλίψιν ἐκείνην ὁ ἥλιος σκοτι-
σθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς,
καὶ οἱ ἀστέρες ἔσονται ἐκ τοῦ οὐρανοῦ πίπτοντες, 25 Is 34,4.
καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται.
καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχό- 26 Dn 7,13.
μενον ἐν νεφέλαις μετὰ δυνάμεως πολλῆς καὶ
δόξης. καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους καὶ 27 Zch 2,6. Dt 30,4. Mt 13,41.
ἐπισυνάξει τοὺς ἐκλεκτοὺς [αὐτοῦ] ἐκ τῶν τεσσάρων
ἀνέμων ἀπ' ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ. Ἀπὸ 28
δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη
ὁ κλάδος αὐτῆς ἁπαλὸς γένηται καὶ ἐκφύῃ τὰ
φύλλα, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν· οὕτως 29
καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε
ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. ἀμὴν λέγω ὑμῖν ὅτι 30
οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις οὗ ταῦτα

---

22 γαρ : T δε | δωσ. : T ποιησουσιν *27* T— [αυτου] *28* T αυτης ηδη ο κλ.

---

18 fin + η σαββατου *19* — ην εκτ. ο θεος *22* — ψευδοχριστοι και *25* δυναμ. των ουρανων *26* επι των νεφελων

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`